# ΟΝΟΜΑΤΑ ΚΕΧΙΑΣΜΕΝΑ

πρώτη μηνιαία αἰνιγματικὴ
ἔκδοσις ἐν τῇ ἀρχαίᾳ Ἑλληνικῇ γλώσσῃ

ἔτος 2017 – ἕκτη ἔκδοσις

ἐκδότης: Λουκᾶς Δεσιάτα

βουλὴ τῶν ἐκδοτῶν: Θεόδωρος
διορθωτής: Ἰήτης

www.**LatinCrosswords**.com

# ὀνόματα κεχιασμένα

| | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|
| I | II | III | IV | ■ | V | VI | VII | VIII | IX |
| X | | | | XI | ■ | XII | | | |
| XIII | | | | | XIV | ■ | XV | | |
| | ■ | XVI | | | | XVII | ■ | XVIII | |
| XIX | XX | ■ | XXI | | | | XXII | ■ | |
| XXIII | | XXIV | ■ | XXV | | | | XXVI | |
| XXVII | | | XXVIII | ■ | XXIX | | | | |
| XXX | | | | | ■ | XXXI | | | |

Lydia Ariminensis

## ὅροι ὁμαλοί ( → )

**I.** ἀναγκαῖον, ἐπιτήδειον; **V.** κρύβδην; **X.** διαπυνθάνομαι, ἔρομαι; **XII.** νῆες (ἡ γενικὴ πτῶσις); **XIII.** πρῶτος Ἡρόδοτος ἐγένετο (δοτικὴ πτῶσις); **XV.** ἐγώ (αἰτιατικὴ πτῶσις); **XVI.** ἐγκωμιάζω; **XVIII.** ἤμβροτον (πρώτη συλλαβή); **XIX.** οἵ (ἀντωνυμία ἀναφορική, αἰτιατικὴ πτῶσις); **XXI.** θεαὶ τῶν ὑλῶν καὶ ὑδάτων (δυϊκὸς ἀριθμός); **XXIII.** λύεις (ἡ προστακτικὴ ἔγκλισις); **XXV.** ἁλίσκεται (χρόνος πεποιήμενος); **XXVII.** πάντων (συνώνυμον); **XXIX.** ἱερεύς (δοτικὴ πτῶσις); **XXX.** χῶραι ἐν τῷ ἁλί (γενικὴ πτῶσις); **XXXI.** κινεῖς, σαλεύεις.

## ὅροι κάθετοι ( ↓ )

**I.** ἔκτισε τὸν λαβύρινθον (αἰτιατικὴ πτῶσις); **II.** πρόθεσις μετὰ αἰτιατικῆς πτώσεως; **III.** φήμη, θεία φωνή; **IV.** νέος (δυϊκὸς ἀριθμός); VI. συνάφεια ὑποθετική; **VII.** θεός (κλητικὴ πτῶσις); **VIII.** κράτος, μητρόπολις τῆς Ἰταλίας; **IX.** ἀνεμώδης, ἀνεμιαῖος; **XI.** ὁμοῖον καὶ ὤρνυτο; **XIV.** ἵημι (διάθεσις μέση); **XVII.** ὀφλισκάνεις (χρόνος ἀόριστος); **XX.** λεία; **XXII.** ἄκαιρε, πικρέ; **XXIV.** ὁμοῖον καὶ ἠώς; **XXVI.** κρᾶσις (καί εἰ); **XXVIII.** ἐγώ (δυϊκὸς ἀριθμός).

**εὑρὲ τὸν λόγον**

εὑρὲ τὸν κεκαλυμμένον λόγον ἐκ τοῦ **Ἀ** εἰς τὸ **ν**, συνδέων γράμματα, ὡς τὸ παράδειγμα δηλοῖ

| | | | | |
|---|---|---|---|---|
| **Ἀ** | γ | α | ἄ | ρ |
| α | κ | θ | τ' | τ |
| ὶ | ἡ | α | ε | ο |
| μ | ᾶ | ζ | μ | **ν** |

**Παράδειγμα**




( Κύριε ἐλέησον )

**τὰ φωνήεντα γράμματα οὐχ ἱκανά**

γράφε γράμματα ἀντὶ ἑκάστου ἀριθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

1 οῦ - 2 υ 3 ά 1 η 4 - 5 ύ 6 1 η 7 ο 7 - ὀ 5 υ 4 ό 8 ε 7 ο 7 – 9 α 1 ε 4 ύ 9 ει, -

αἰεὶ - 5 ὲ - 8 α 10 α 9 οῖ 6 ι - 9 αὶ - αἰ 8 υ 10 ίοι 6 ι - 10 ό 3 οι 6 ι -

2 έ 10 3 ει, - ὅ 11 ω 6 - Ἰ 2 ά 9 η 6 - ἐ 11 ι 10 ή 6 ε 1 αι· - αὐ 1 ὰ 4 - Ὀ 5 υ 6 6 εύ 6 , -

ἱέ 8 ε 7 ο 6 - 9 αὶ - 9 α 11 7 ὸ 7 - ἀ 11 ο 2 4 ῴ 6 9 ο 7 1 α - 7 οῆ 6 αι -

ἧ 6 - 3 αίη 6 , - 2 α 7 έει 7 - ἱ 8 εί 4 ε 1 αι. - οὐ 5 έ - 7 υ - 6 οί - 11 ε 4 -

ἐ 7 1 4 έ 11 ε 1 αι - 12 ί 10 ο 7 - ἧ 1 ο 4 , - Ὀ 10 ύ 8 11 ιε; - οὔ - 7 ύ - 1' - Ὀ 5 υ 6 6 εὺ 6 -

Ἀ 4 3 είω 7 - 11 α 4 ὰ - 7 ηυ 6 ὶ - 13 α 4 ί 14 ε 1 ο - ἱε 4 ὰ - ῥέ 14 ω 7 -

1 4 οίῃ - ἐ 7 - εὐ 4 είῃ; - 1 ί - 7 ύ - οἱ - 1 ό 6 ο 7 - ὠ 5 ύ 6 αο, - 14 εῦ;" -

1 ὴ 7 - 5' - ἀ 11 α 8 ει 15 ό 8 ε 7 ο 6 - 11 4 ο 6 έ 12 η - 7 ε 12 ε 10 η 3 ε 4 έ 1 α - 14 εύ 6· -

"1 έ 9 7 ο 7 - ἐ 8 ό 7 , - 11 οῖό 7 - 6 ε - ἕ 11 ο 6 - 12 ύ 3 ε 7 - ἕ 4 9 ο 6 - ὀ 5 ό 7 1 ω 7 . -

# ζήτησις τῶν ὀνομάτων

εὑρὲ τὰ ὀνόματα. τὰ λοιπὰ γράμματα ποιήσονται τὸ λοιπὸν ὄνομα.

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| π | μ | ο | ρ | α | ς | ν | ι | σ | α | ρ | δ | ν | α |
| α | κ | α | τ | α | φ | ρ | ο | ν | ω | ν | ω | ι | π |
| ι | κ | ν | λ | ε | τ | α | ξ | ε | ν | λ | γ | υ | α |
| δ | ς | υ | ο | λ | π | α | λ | λ | α | ρ | α | λ | τ |
| ο | ι | γ | ο | ν | ο | ι | α | γ | ο | ι | τ | ο | ε |
| ς | ο | ν | ε | μ | ο | ν | ε | γ | α | ρ | α | π | ρ |
| α | τ | υ | ε | ν | ο | μ | η | ν | μ | ο | ι | ξ | α |
| ω | ω | κ | σ | ω | ν | γ | ι | γ | υ | ο | τ | υ | α |
| ι | ε | ι | α | ρ | ι | ε | π | ν | ω | σ | π | ε | ρ |

Ξενοφῶντος – Συμπόσιον

᾽Αλλ᾽ ἐμοὶ δοκεῖ τῶν καλῶν ______ ἀνδρῶν ἔργα οὐ **μόνον** τὰ μετὰ σπουδῆς πραττόμενα **ἀξιομνημόνευτα εἶναι**, **ἀλλὰ** καὶ τὰ ἐν ταῖς παιδιαῖς. Οἷς δὲ **παραγενόμενος** ταῦτα **γιγνώσκω** δηλῶσαι βούλομαι. ἦν μὲν γὰρ Παναθηναίων τῶν **μεγάλων** ἱπποδρομία, Καλλίας δὲ ὁ ῾Ιππονίκου ἐρῶν ἐτύγχανεν Αὐτολύκου **παιδὸς** ὄντος, καὶ νενικηκότα αὐτὸν παγκράτιον ἧκεν ἄγων ἐπὶ τὴν θέαν. ῾Ως δὲ ἡ ἱπποδρομία ἔληξεν, ἔχων τόν τε Αὐτόλυκον καὶ τὸν **πατέρα αὐτοῦ** ἀπῄει εἰς τὴν ἐν **Πειραιεῖ** οἰκίαν· **συνείπετο** δὲ αὐτῷ καὶ Νικήρατος. ᾽Ιδὼν δὲ **ὁμοῦ** ὄντας Σωκράτην τε καὶ Κριτόβουλον καὶ ῾Ερμογένην καὶ ᾽Αντισθένην καὶ Χαρμίδην, τοῖς μὲν ἀμφ᾽ Αὐτόλυκον ἡγεῖσθαί τινα **ἔταξεν** αὐτὸς δὲ προσῆλθε **τοῖς** ἀμφὶ Σωκράτην, καὶ εἶπεν· "Εἰς καλόν γε ὑμῖν συντετύχηκα· ἑστιᾶν γὰρ μέλλω Αὐτόλυκον καὶ τὸν πατέρα αὐτοῦ. Οἶμαι οὖν πολὺ ἂν τὴν κατασκευήν μοι λαμπροτέραν φανῆναι εἰ **ἀνδράσιν** ἐκκεκαθαρμένοις τὰς ψυχὰς **ὥσπερ** ὑμῖν ὁ ἀνδρὼν κεκοσμημένος εἴη **μᾶλλον** ἢ εἰ στρατηγοῖς καὶ ἱππάρχοις καὶ σπουδαρχίαις." Καὶ ὁ Σωκράτης εἶπεν· "᾽Αεὶ σὺ ἐπισκώπτεις ἡμᾶς **καταφρονῶν**, ὅτι σὺ μὲν Πρωταγόρᾳ τε **πολὺ** ἀργύριον δέδωκας ἐπὶ σοφίᾳ καὶ **Γοργίᾳ** καὶ Προδίκῳ καὶ ἄλλοις πολλοῖς, ἡμᾶς δ᾽ **ὁρᾷς** αὐτουργούς τινας τῆς φιλοσοφίας ὄντας ...

**εἰκὼν κεκρυμμένη**

σύνδει σημεῖα ἐκ τοῦ α εἰς τὸ π ἵνα εἰκόνα ποιῇς




## ὀνόματα κεχιασμένα

| | | | | |
|---|---|---|---|---|
| I | II | III | IV | V |
| VI | | | | |
| VII | | | | |
| VIII | | | | |
| IX | | | | |

**ὅροι ὁμαλοί ( → )**

**I.** πάθηματι (συνώνυμον);
**VI.** ἐστέ (εὐκτικὴ ἔγκλισις);
**VII.** ἔμπειρος, ἐπιστήμων (αἰτιατικὴ πτῶσις);
**VIII.** θεάουσα (συναίρεσις);
**IX.** εἰμί (ἡ ἀπαρέμφατος ἔγκλισις).

**ὅροι κάθετοι ( ↓ )**

**I.** πίστιν δίδου, πάραγε;
**II.** αἰσχύνει, αἰδῶ ἔχεις;
**III.** θηράων (συναίρεσις);
**IV.** τίω (χρόνος ἀόριστος);
**V.** ἵημι (ἡ ἀπαρέμφατος ἔγκλισις).

# ΑΣΤΕΡΙΚΙΟΣ ΚΑΙ ΚΛΕΟΠΑΤΡΑ






(Permission requested to publisher Mamouth Comix and forwarded to the French publisher)

# Πλείονα περὶ τῆς Βορείας Κορέας

24 Ἀπριλίου 2017



Πλείονα περὶ τῆς Βορείας Κορέας νεωστὶ ἐγένετο, νῦν γὰρ ἡ ταύτης τῆς χώρας ἀρχὴ διδάσκαλον τοῦ Πανεπιστημίου τῆς Ἐπιστήμης καὶ τῆς Τεχνολογίας κατέσχεν. οὗτος ὁ διδάσκαλος, πεντήκοντα ἔτη γεγονώς, διπλῆν πολιτείαν ἔχει, τήν τε Ἀμερικανὴν καὶ τὴν τῆς Νοτίας Κορέας (δυοῖν χωραῖν αἵ, ὡς ἔπος διπλωματικῶς εἰπεῖν, οὐ τυγχάνουσι φιλαίταται οὖσαι τῇ Βορείᾳ Κορέᾳ), μόνον δὲ πέντε ἑβδομάδας ἐν τούτῳ τῷ πανεπιστημίῳ ἐδίδαξεν, ἐν ᾧ πολλοὶ ξένοι διδάσκαλοι ὑπὸ τῆς Βορειοκορεάνης ἀρχῆς μισθωθέντες ἐργάζονται· ἐν δὲ τῷ ἀερολιμένι αὐτῷ εἰς τὴν Κίναν πορευθήσεσθαι μέλλων κατελήφθη.

οὗτός ἐστιν ὁ τρίτος Ἀμερικανὸς πολίτης ὃν τοῖς τελευταίοις μησὶν οἱ τῆς Β. Κορέας φύλακες καταλαμβάνουσιν, οὐδένα δὲ λανθάνει ἡ ἀρχὴ τοῦτο ποιοῦσα ἵνα τὴν Ἀμερικανὴν ἀρχὴν πρὸς αὐτοὺς λόγους ποιεῖσθαι ἀναγκάζῃ, αἱ μὲν γὰρ δύο χῶραι διπλωματικὴν κοινωνίαν οὐκ ἔχουσιν, ὁπόταν δὲ ἡ Β. Κορέα τὴν τῶν ΗΑΠ ἀρχὴν πιέζειν βούληται τοῦτο ποιεῖ.

καὶ δὴ καὶ ἡ τῆς Β.Κορέας ἀρχὴ ταῖς ΗΑΠ ἠπείλησε τὸ πυρηνικὸν ἀεροσκαφοφόρον Carl Vinson καταδύσειν ἐὰν τῇ παραλίᾳ προσπλεύσῃ· ὅμως δὲ ἴσως πρὸς τὰς ΗΑΠ μάχεσθαι οὐχ ἱκανόν ἐστι τῷ Kim Jong-un, οὗτος γὰρ καὶ τῇ Αὐστραλίᾳ ἀπειλεῖ νῦν πυρηνικὴν προσβολὴν ἐφιέναι ἐὰν αὕτη ἡ χώρα τῇ Ἀμερικανῇ πολιτικῇ πράξει ἑπομένη μὴ παύηται.

τῶν ἀπειλῶν ἄνω καὶ κάτω πορευομένων, οἱ ἔμπειροι διστάζουσι πότερον ἡ Β. Κορέα τεχνικὴν δύναμιν ἱκανὴν ἔχει ὥστε πυρηνικὰ πύραυλα ἀνιέναι.

Reproduced with authorisation of Juan Coderch

## Ταχέως ἐργάζονται ἐν τῇ Ἰαπωνίᾳ

18 Νοεμβρίου 2016



Τρομοκρατικὴ προσβολὴ ἐγένετο χθὲς ἐν τῇ Ἁγίᾳ Πετρουπόλει. ἄνθρωπός τις εἰς τὸν ὑπόγειον σιδηρόδρομον εἰσβὰς βόμβαν κατέθηκεν· τῆς ἐκρήξεως γενομένης, τῷ τοῦ σιδηροδρόμου κυβερνήτῃ, αἰσθομένῳ ὅ τι γένοιτο, ἔδοξε τὸν σιδηρόδρομον μὴ παύειν (ἐπορεύετο πρὸς τὸν σταθμὸν "Τεχνολογικὸν Διδασκαλεῖον" καλούμενον, ὃν ἐν τῇ φωτογραφίᾳ ἔξεστιν ἰδεῖν) καὶ εἰς τὸν ἐπιγιγνόμενον σταθμὸν ἀφίκεσθαι, ὃ μάλιστα πᾶσι ὠφέλησεν, πολλῷ γὰρ ῥᾶον ἐγένετο τοῖς τε ἐπιβάταις ἐξιέναι καὶ τοῖς ἰατροῖς ταχέως ἀφικομένοις ὠφελεῖν. ἕνδεκα μὲν ἄνθρωποι ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐτρώθησαν. κατὰ τοὺς μάρτυρας, ὁ σιδηρόδρομος μεστὸς ἦν, τοσοῦτοι γὰρ ἐπιβάται ἐνῆσαν ὥστε πολλοὶ εἱστήκεσαν κενῶν καθεδρῶν οὐκέτι ὑπαρχουσῶν. οἱ φύλακες δευτέραν μὲν βόμβαν ηὗρον ἄλλοθι, ἐν ἄλλῳ σταθμῷ, "Βοσστανίᾳ Ἀγορᾷ" καλουμένῳ, τύχῃ δὲ ἐδυνήθησαν αὐτὴν διαλύειν πρὶν ἐκρήγνυσθαι· εὐδαιμόνως δή, αὕτη γὰρ ἡ δευτέρα βόμβα πολλῷ ἰσχυροτέρα ἦν τῆς πρώτης.

ὅτε τοῦτο ἐγένετο, ὁ τῆς Ῥωσσίας πρόεδρος Βλαδίμιρ Ποῦτιν ἐν τῇ αὐτῇ πόλει ἦν, ἐν ᾗ πέντε ἑκατομμύρια ἄνθρωποι οἰκοῦσιν. δέον τὸ τῶν σιδηροδρόμων δίκτυον παντελῶς κατακλείειν, ἡ ἐπιβολὴ τὴν πόλιν ἔπαυσεν, οἱ γὰρ ἄρχοντες οὐκ εἴασαν τῷ ὑπογείῳ σιδηροδρόμῳ χρῆσθαι πρὶν τὴν νύκτα γένεσθαι.

Reproduced with authorisation of Juan Coderch

# λύσις

| | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|
| Δ | Ε | Ο | Ν | | Λ | Α | Θ | Ρ | Α |
| Α | Ι | Τ | Ε | Ω | | Ν | Ε | Ω | Ν |
| Ι | Σ | Τ | Ο | Ρ | Ι | | Ε | Μ | Ε |
| Δ | | Α | Ι | Ν | Ε | Ω | | Η | Μ |
| Α | Σ | | Ν | Υ | Μ | Φ | Α | | Ο |
| Λ | Υ | Ε | | Ε | Α | λ | Ω | Κ | Ε |
| Ο | Λ | Ω | Ν | | Ι | Ε | Ρ | Ε | Ι |
| Ν | Η | Σ | Ω | Ν | | Σ | Ε | Ι | Σ |

## ὀνόματα κεχιασμένα

**τὰ φωνήεντα γράμματα οὐχ ἱκανά**
γράφε γράμματα ἀντὶ ἑκάστου ἀριθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει,
αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεύς,
ἱέμενος καὶ καπνὸν ἀποθρῴσκοντα νοῆσαι
ἧς γαίης, θανέειν ἱμείρεται. οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε; οὔ νύ τ' Ὀδυσσεὺς
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων
Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;"
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.

**εὑρὲ τὸν λόγον**

Ἀγαθὴ καὶ μᾶζα μετ'ἄρτον

## ὀνόματα κεχιασμένα

| | | | | |
|---|---|---|---|---|
| π | α | θ | ε | ι |
| ε | ι | η | τ | ε |
| ι | δ | ρ | ι | ν |
| θ | ε | ω | σ | α |
| ε | ι | ν | α | ι |

# λύσις

## ζήτησις τῶν ὀνομάτων

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| π | μ | ο | ρ | α | ς | ν | ι | σ | α | ρ | δ | ν | α |
| α | κ | α | τ | α | φ | ρ | ο | ν | ω | ν | ω | ι | π |
| ι | κ | ν | λ | ε | τ | α | ξ | ε | ν | λ | γ | υ | α |
| δ | ς | υ | ο | λ | π | α | λ | λ | α | ρ | α | λ | τ |
| ο | ι | γ | ο | ν | ο | ι | α | γ | ο | ι | τ | ο | ε |
| ς | ο | ν | ε | μ | ο | ν | ε | γ | α | ρ | α | π | ρ |
| α | τ | υ | ε | ν | ο | μ | η | ν | μ | ο | ι | ξ | α |
| ω | ω | κ | σ | ω | ν | γ | ι | γ | υ | ο | τ | υ | α |
| ι | ε | ι | α | ρ | ι | ε | π | ν | ω | σ | π | ε | ρ |

κ α γ α τ ω ν = κἀγαθῶν

## εἰκὼν κεκρυμμένη

